Συναξάριον

Τῇ Η' τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἀρσενίου τοῦ Βερνικοβίτου, κτίτορος τῆς Ἱερᾶς Μονῆς τῆς Θεοτόκου, τῆς ἐπιλεγομένης Βαρνακόβης.

Στίχοι:

*Ζηλωτὰ Ἀγγέλων, Ἀρσένιε μάνδραν,*
*ἀτρύτοις πόνοις ἤγειρας τῇ Παρθένῳ.*

Οὗτος, ἐγεννήθη εἰς τὴν κώμην τῶν Καρυῶν τῆς ὀρεινῆς Δωρίδος τῆς Φωκίδος, τὸ πρῶτον ἥμισυ τοῦ 11ου αἰῶνος, καθ' ἃ συνάγεται ἐκ τῆς σῳζομένης κτιτορικῆς ἐπιγραφῆς τῆς Ἱερᾶς Μονῆς τῆς Βαρνακόβης (1077 μ. Χ.). Τρωθεὶς ἐνωρὶς ὑπὸ θείου ἔρωτος, ἐγκατέλιπε τὰς μερίμνας τοῦ βίου καὶ ἀναχωρήσας ἐκεῖθεν ἐσκήνωσεν ἔν τινι σπηλαίῳ, οὐχὶ μακρὰν τῆς οἰκείας αὐτοῦ πατρίδος. Ἀργότερον, θείᾳ χάριτι, οὗτος ἤγειρεν ἐκ τοῦ μὴ ὄντος τὴν ἱερὰν καὶ σεβασμίαν μονὴν τῆς Θεοτόκου, ἥν Βαρνάκοβαν ἐπονομάζομεν. Ταύτην θεοφιλῶς ποιμάνας καὶ συγκεντρώσας πλῆθος μοναστῶν, αἰνούντων ἀπαύστως τὸν Κύριον καὶ τὴν ἄχραντον Αὐτοῦ Μητέρα, ἀπῆλθε πρὸς πόλον.